www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ

ΕΝΔΟΞΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ

## ΠΑΥΛΟΥ ΤΟΥ ΝΕΟΥ

Τοῦ ἐν Τριπόλει τῆς Πελοποννήσου

ΜΑΡΤΥΡΗΣΑΝΤΟΣ.

ΣΥΝΤΕΘΕΙΣΑ ΠΑΡΑ

**ΧΡΙΣΤΟΦΟΡΟΥ**

*Ἐλαχίστου Μοναχοῦ καὶ Προσκυνητοῦ τοῦ Λημνίου.*

ΕΝ ΤΡΙΠΟΛΕΙ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΗΣ ΑΡΚΑΔΙΑΣ.

1858

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ
## ΕΝΔΟΞΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ
# ΠΑΥΛΟΥ ΤΟΥ ΝΕΟΥ
## ΤΟΥ ΕΝ ΤΡΙΠΟΛΕΙ ΤΗΣ ΠΕΛΟΠΟΝΝΗΣΟΥ
## ΜΑΡΤΥΡΗΣΑΝΤΟΣ.

ΣΥΝΤΕΘΕΙΣΑ ΜΕΝ ΠΑΡΑ

**ΧΡΙΣΤΟΦΟΡΟΥ**

*Ἐλαχίστου Μοναχοῦ καὶ Προσκυνητοῦ τοῦ Δημνίου.*

Νῦν δὲ τὸ πρῶτον τύποις ἐκδοθεῖσα

*Πρὸς εὐχερεστέραν χρῆσιν τῶν ἐν ταῖς Ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις ψαλλόντων αὐτήν, καὶ ψυχικὴν σωτηρίαν τῶν τύποις ταύτην ἐκδεδωκότων.*

**ΕΝ ΤΡΙΠΟΛΕΙ,**

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΗΣ ΑΡΚΑΔΙΑΣ.

1858

www.tezaurliturgic.ro

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ
ΒΙΒΛΙΟΘΗΚΗ
168350

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

ΤΩ

ΣΕΒ. ΑΡΧΙΕΠΙΣΚΟΠΩ

ΜΑΝΤΙΝΕΙΑΣ

ΚΑΙ ΚΥΝΟΥΡΙΑΣ

ΚΥΡΙΩ, ΚΥΡΙΩ

ΘΕΟΦΑΝΗι

ΤΩι ΣΙΑΤΙΣΤΗι

ΕΝΘΕΡΜΩ ΖΗΛΩΤΗ ΤΗΣ ΤΟΥ

ΧΡΙΣΤΟΥ

*ΑΝΑΤΟΛ. ΕΚΚΛΗΣΙΑΣ*

Η ΑΚΟΛΟΥΘΙΑ ΑΥΤΗ

ΠΑΝΕΥΛΑΒΩΣ

*Ἀνατίθεται.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

Ο ΟΣΙΟΜΑΡΤΥΣ ΠΑΥΛΟΣ Ο ΝΕΟΣ.



Ο ΕΝ ΤΡΙΠΟΛΕΙ ΤΗΣ ΠΕΛΟΠΟΝΝΗΣΟΥ ΜΑΡΤΥΡΗΣΑΣ, (ΤΩ ΑΩΙΗ'.)

www.tezaurliturgic.ro

# ΜΗΝΙ ΜΑΪΩ ΚΒ'.

## Τοῦ Ἁγίου ἐνδόξου Ὁσιομάρτυρος ΠΑΥΛΟΥ τοῦ ΝΕΟΥ.

Ἑσπέρας ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν Ψαλμὸν, στιχολογοῦμεν τὸ, Μακάριος ἀνὴρ, τὸ Α'. Ἀντίφωνον· εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν Στιχηρὰ προσόμοια, δευτεροῦντες τὰ δύο πρῶτα.

Ἦχος ά. Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων τὰ κάλλη ποθήσας, Ὅσιε, τὴν τῶν ἐξ Ἄγαρ πλάνην, καὶ τὴν τούτων κακίαν, κατέπτυσας, ὦ Παῦλε, καρτερικῶς, καὶ Χριστὸν ἐπιποθήσας, ὑφ' οὗ ἐδέξω αἰώνια ἀγαθὰ, τῇ ἐκχύσει τοῦ Σοῦ αἵματος. Δίς.

Τῶν οὐρανίων τὰς θέας κατοπτριζόμενος, χαρᾶς τῆς ὑπερτάτου, κοινωνεῖς, ὦ Θεόφρον, Μαρτύρων καὶ Ὁσίων θείοις χοροῖς, ὡς εἰκὸς ἀριθμούμενος, καὶ οὐρανίους θαλάμους περιπολῶν, ὑπὲρ ἡμῶν Θεὸν ἱκέτευε. Δίς.

Τῶν Ἀσκητῶν Σὺ ὑπάρχεις τὸ ἀγαλλίαμα, καὶ τῶν Μαρτύρων δόξα, Παῦλε Ὁσιομάρτυς· διῆλθες γὰρ προθύμως καὶ καρτερικῶς, ἀμφοτέρων τὸ στάδιον, καὶ ἐδοξάσθης πλουσίως παρὰ Θεοῦ, κατ' ἀξίαν τῶν ἀγώνων Σου.

Πηγὰς ἰάσεων νέμεις τοῖς Σοὶ προστρέχουσιν, ὦ Παῦλε Θεόφορε, καὶ ψυχῶν καὶ σωμάτων, θεράπων ὄντως πέλεις, τοῖς πίστει θερμῇ, προσιοῦσι τῇ σκέπῃ Σου, Πελοποννήσου τὸ καύχημα τὸ κλεινὸν, καὶ Μαρτύρων ἐγκαλλώπισμα.

Δόξα, Ἦχος Δ'.

Δεῦτε τῶν πιστῶν τὸ σύστημα, πνευματικὴν χορείαν

www.tezaurliturgic.ro

ἐπικροτήσωμεν, καὶ τὸν ἀθλοφόρον Χριστοῦ τοῦ Θεοῦ, ἐν ὕμνοις τιμήσωμεν, Παῦλον τὸν κλεινὸν ἀριστέα. Οὗτος γὰρ ἀθλήσας καλῶς, καταφωτίζει τὰς διανοίας τῶν πιστῶν, τῶν ἐν πίστει καὶ πόθῳ ἐπιτελούντων τὴν μνήμην αὐτοῦ τὴν σεβάσμιον.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἴσοδος. Τὸ Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

## Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ· γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός· καὶ ὁ παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμὶ ὁ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα, καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγὼ εἰμὶ, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος, Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης·

www.tezaurliturgic.ro


καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς πειράσας αὐτοὺς, εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ ἐπ' αὐτὸν πεποιθότες συνήσουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις, καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ τῆς εὐπρεπείας βασίλειον, καὶ τὸ τοῦ κάλλους διάδημα ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἀλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως. Ἀντιστήσεται δὲ αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ

www.tezaurliturgic.ro


Κυρίου τὸ κράτος ὑμῶν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Καὶ γίνεται ἡ συνήθης ἐκτενής.

—o—

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, ψάλλομεν Στιχηρὰ Ἰδιόμελα.

Ἦχος Α΄.

Ὁ φαιδρὸς ἀθλητὴς νέος Παῦλος, ἐν τῇ ἐνδόξῳ ἀθλήσει αὐτοῦ, τὰς ἄνω δυνάμεις ηὔφρανε, καὶ σὺν αὐταῖς γηθόμενος νῦν, ἐπίγειον τοῖς πιστοῖς πανήγυριν ἤγειρε· καὶ συνεορτάζειν ἡμῖν τοῖς δι' αὐτὸν ἠθροισμένοις, ὡς Χριστοῦ θεράπων ἐλήλυθε· διόπερ αὐτὸν ἀξίως ὑμνήσωμεν, ἀπαύστως πρεσβεύοντα τῷ Σωτῆρι Χριστῷ, δοθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Ἡ τῶν Μαρτύρων καλλονή, Παῦλε μακάριε, τέρπου, καὶ ἀγάλλου· Θεῷ γὰρ εὐηρέστησας, πάντων ἐξουθενήσας· καὶ ζωὴν αἰώνιον ἐκομίσω ἐν οὐρανοῖς· τὸ γὰρ Σοῦ τίμιον λείψανον, πᾶσαν νόσον ἐξ ἀνθρώπων ἀπελαύνει, καὶ πηγὰς ἰαμάτων παρέχει, τοῖς πίστει Σοὶ προστρέχουσιν.

Ὁ αὐτός.

Τὴν τῶν ἐξ Ἄγαρ πλάνην καθυβρίσας στεῤῥώτατα, ὑπὲρ Χριστοῦ τοῦ Σωτῆρος τὸ αἷμά σου ἐξέχεας Ὁσιομάρτυς Παῦλε πανένδοξε. Πίστει γὰρ φίλτρον ἐνστησάμενος, καὶ ἐλπίδι δέος ἀπωσάμενος, ἐδέξω βραβεῖα οὐράνια καὶ ἄφθαρτα· παῤῥησίαν οὖν ἔχων, εὐπροσδέκτοις δεήσεσιν, αἴτησαι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, ἄφεσίν τε ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Δόξα, ἦχος ὁ αὐτός.

Τρισολβία εἶ, ὦ Τρίπολις, ἡ ἀρδευθεῖσα τοῖς αἵμασι τοῦ

www.tezaurliturgic.ro


Ὁσιομάρτυρος· οὐκ ἔτι ἐξουθενημένη, καὶ ἄσημος, μᾶλλον δὲ εὐκλεὴς καὶ πανένδοξος, τοιοῦτον πολιοῦχον πλουτίσασα· εὐφραίνου καὶ κροτοῦσα τὰς χεῖρας χόρευε· καὶ εὐλαβῶς κατασπαζομένη τούτου τὰ σεβάσμια λείψανα, τῷ Σωτῆρι βόησον· ὁ παρὰ τοῦ Ὁσιομάρτυρος δοξασθεὶς, Κύριε, ῥῦσαι ἐκ τοῦ πονηροῦ τὴν νεολαίαν Σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

ΕΙΣ ΣΤΙΧΟΝ. Στιχηρὰ Προσόμοια. Ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν.

Δεῦτε, ὦ Χριστοφόροι λαοὶ, μετ' εὐφροσύνης συνελθόντες σκιρτήσατε· ἰδοὺ γὰρ ὁ νέος Παῦλος, τῶν ἀθλητῶν καλλονὴ, καὶ Χριστοῦ θεράπων γνησιώτατος, φαιδρῶς νῦν προτίθεται, τὰς πηγὰς τῶν ἰάσεων, καὶ τὰ βραβεῖα, ἃ πλουσίως ἐδέξατο, δι' ὧν ἤστραψεν, ὡς φωστὴρ διαυγέστατος· τούτου οὖν τὴν εὐφρόσυνον τελέσωμεν ἄθλησιν, καὶ τῶν θαυμάτων τὴν χάριν, θεόθεν, ἥν περ ἀπείληφεν, πιστῶς εὐφημοῦντες, τὸν Σωτῆρα τῶν ἁπάντων θερμῶς δοξάσωμεν.

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις τῶν ἀσκητῶν ἡ χαρὰ, καὶ τῶν μαρτύρων δόξα ὄντως ἀνέκφραστος· πυρὶ γὰρ τοῦ θείου πόθου καταφλεχθεὶς ἀληθῶς, τῇ ἀσκήσει ὅλον ἐναπέδωκας, σαυτόν· μετὰ ταῦτα δὲ, ἀναβάσεις ἐκθέμενος, τῇ σῇ καρδίᾳ, τὸ μαρτύριον ἤνυσας, καὶ ἐτρόπωσας τοῦ ἐχθροῦ πᾶσαν δύναμιν· ἦρας δὲ νικητήρια, καὶ γέρα τῶν ἄθλων Σου, καὶ ἀντιδόσεις πλουσίας παρὰ Θεοῦ ἐναπείληφας, ὃν νῦν ἐκδυσώπει, καὶ ἡμῖν τοῖς Σὲ τιμῶσι δοῦναι τὴν ἄφεσιν.

Στιχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Χαίροις ὁ Νεομάρτυς Χριστοῦ, ὁ θαρσαλέως, τῶν τυ-

www.tezaurliturgic.ro

ράννων ἐνώπιον, κηρύξας αὐτὸν, τῶν ὅλων, δημιουργὸν ἀληθῆ, καὶ τῆς ἀσεβείας τὴν τυφλότητα, ἐλέγξας τρανώτατα· καὶ πιστοῖς πᾶσι καύχημα, ἐγείρας μέγα, τῇ πατρίδι σου εὔκλειαν, ἐνεποίησας τοῖς Σοῖς ἄθλοις Πανόλβιε· χαίροις τῶν συμμαρτύρων Σου, ὦ Παῦλε συνόμιλε, ὁ καθαρῶς ἐποπτεύων, Τριάδα τὴν ὁμοούσιον, ἣν μὴ διαλείπῃς, ἱκετεύων, ἡμᾶς σῶσαι τοὺς ἀνυμνοῦντάς Σε.

Δόξα. Ἦχος πλ. δ'.

Κύριε, ὁ πρῴην Σε ἀρνησάμενος Παῦλος, τὴν Σὴν ἐπιγνοὺς Θεότητα, μετανοοῦντος ἀναλαβὼν τάξιν, ὀδυρόμενος, δάκρυα ἔῤῥεε ψυχῆς ἐκ βάθους. Οἴμοι! θρηνῳδῶν, ὡς αἰτία ὑπάρχει ἀνυποίστων βασάνων, καὶ φλογιζούσης γεένης, ἡ τῆς ἀσεβείας ἐνστέρνησις· δέξαι μου τὰς πηγὰς τῶν δακρύων, ὁ δεχόμενος εὐσπλάγχνως τοὺς θερμῶς μετανοοῦντας· κάμφθητί μοι εἰς τοὺς στεναγμοὺς τῆς καρδίας, ὁ τοὺς ἀρνητάς Σου δεχόμενος προθύμως. καταφιλήσω τοὺς ἀχράντους Σου πόδας, τοὺς ὑπὲρ ἐμοῦ πάλαι τῷ Σταυρῷ προσηλωθέντας, ὃν ἐν Γολγοθᾷ δρῶσα, ἅπασα ἡ κτίσις, δέει συνεχομένη, ἔτρεμε, καὶ ἐκλονεῖτο. Ἀρνήσεώς μου τὸ ἄχθος, καὶ ποινὴν τοῦ συνειδότος, ἀδακρυτὶ πῶς ἐνέγκω ψυχοσῶστα Σωτήρ μου; δέξαι τὸ μαρτύριόν μου, ὁ ἀνείκαστον ἔχων τὸ ἔλεος.

Καὶ νῦν, Τῆς Ἑορτῆς.

ΑΠΟΛΥΤΙΚΙΟΝ. Ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Ὁσιώτατε Μάρτυς Παῦλε πανένδοξε, ὑπὲρ Χριστοῦ ἐναθλήσας γενναιοτάτῃ ψυχῇ, τὸν διπλοῦν παρὰ Θεοῦ στέφανον εἴληφας· καὶ χοροῖς τῶν Ἀσκητῶν, καὶ Μαρτύρων

www.tezaurliturgic.ro

συναφθεὶς, μὴ διαλείπῃς πρεσβεύων, ὑπὲρ ἡμῶν τῶν ἐν πίστει, ἐπιτελούντων τὴν θείαν μνήμην Σου.

Δόξα, καὶ νῦν, Τῆς Ἑορτῆς.

—○—

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ,

Μετὰ Ἑξάψαλμον, τὸ, Θεὸς Κύριος, καὶ τὰ Ἀπολυτίκια, ὡς εἰς τὸν Ἑσπερινόν.

Μετὰ τὴν ά. Στιχολογίαν, Κάθισμα, Ἦχος ά.

Τὸν τάφον σου Σωτήρ.

Κατέπτυσας φαιδρῶς ὀθωμάνειον πλάνην, καὶ ἔστης ἀνδρικῶς εἰς ἀγῶνας, ὦ Παῦλε· κηρύξας δὲ, κατῄσχυνας τὴν ἀλκὴν τοῦ ἀλάστορος. Ὅθεν σήμερον Τρίπολις χαίρουσα, Μάκαρ, Σοῦ τὴν πάντιμον, ἀποτομὴν ἑορτάζει, Μαρτύρων τὸ καύχημα.

Δόξα, Ἦχος γ'. Θείας πίστεως.

Πάντας ἥδυνας τοὺς ὀρθοδόξους, καὶ κατῄσχυνας τοὺς ἐκ τῆς Ἄγαρ, ἀνδρειοφρόνως, ὦ Παῦλε τρισόλβιε· ὡς οὖν τὴν πλάνην ἀπίστων κατέβαλες, καὶ εὐσεβεῖς στεῤῥῶς ἐπεστήριξας· οὕτως Ἅγιε Χριστὸν τὸν Θεὸν ἱκέτευε, ῥυσθῆναι τοῦ δεινοῦ ζυγοῦ τοὺς δούλους Σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὴν β'. Στιχολογίαν, Κάθισμα, Ἦχος γ'.

Τὴν ὡραιότητα τῆς Παρθενίας σου.

Τὸ πολυμόχθιστον τῆς Σῆς ἀσκήσεως, καὶ τὸ φαιδρότατον τῆς Σῆς ἀθλήσεως, ἔφριξαν θῆρες οἱ δεινοί· ἐβόας γὰρ, ὦ γενναῖε, τὸν Χριστόν μου σέβομαι, ὃν ἀφρόνως ἐξώμωσα· πλάνην δὲ καχέσπερον, ἐκφαυλίζω στεῤῥότατα· διὸ, καὶ ἀπετμήθης τὴν κάραν, καὶ τὸ Σὸν αἷμα ἐξέχεας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

 www.tezaurliturgic.ro

Δόξα. Ἦχος γ'. Θείας πίστεως.

Πελοπόννησος, πατρὶς τοῦ Παύλου, τέρπου χόρευε, κροτοῦσα χεῖρας, καὶ γὰρ αὐτὸν ἔχεις νῦν προστάτην σου. Τὴν οὐρανῶν γὰρ Βασιλείαν τὴν ἄληκτον, τῶν οἰκείων ἄθλων ἐξωνησάμενος, πρεσβεύει ἀεὶ Χριστῷ τῷ Θεῷ, δωρήσασθαι τὴν εἰρήνην σοι, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος γ'.
Θείας πίστεως.

Ἐκκεντούμενος ἔρωτι θείῳ, εἰς μαρτύριον φαιδρῶς ἐπέστης θεῖε Παῦλε Ἀγγέλων συνόμιλε· χαίρων γὰρ κάραν ἐτμήθης πανόλβιε, Χριστὸν κηρύξας Θεάνθρωπον τέλειον· ὅθεν τυχὼν τῆς παρ' αὐτῷ ἀναψύξεως, ἱκέτευε οὖν ὑπὲρ τῶν τιμώντων Σε.

Δόξα, Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἶτα, οἱ Ἀναβαθμοί, τὸ Α'. Ἀντίφωνον τοῦ δ'. Ἤχου.
Προκείμενον. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.
Στιχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.
Τό, Πᾶσα πνοή. Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων.
Εἶτα, ὁ Ν'. Ψαλμός. Δόξα, Ταῖς τοῦ ἀθλοφόρου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεός. Ἰδιόμελον, ἦχος πλ. β'.

Σήμερον πιστοὶ χορεύσωμεν ἐν ψαλμοῖς καὶ ὕμνοις, ἐπὶ τῇ ἀθλήσει τοῦ Ὁσιομάρτυρος Παύλου. Οὗτος γὰρ τὸν Χριστὸν κηρύξας ἐν μέσῳ τῶν ἀπίστων, τὴν κάραν τέμνεται ὑπ' αὐτῶν, καὶ στέφανον μαρτυρίου λαμβάνει, παρὰ τοῦ ἀθλοθέτου Χριστοῦ τοῦ Θεοῦ, ᾧ καὶ πρεσβεύει ἀπαύστως σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Κύριε ἐλέησον ιβ'.

www.tezaurliturgic.ro


Ἐλέει καὶ οἰκτιρμοῖς. Ὁ Κανὼν τῆς Ἑορτῆς καὶ τοῦ Ὁσιομάρτυρος.

Ὁ Κανὼν τοῦ Ὁσιομάρτυρος. Ἦχος δ'.

Ὠδὴ Α'. Ἀνοίξω τὸ στόμα μου.

Αἰνέσαι τρισόλβιε, σὲ κατ' ἀξίαν οὐκ ἔνεστι, τῇ χύτει τῶν λόγων μου, Παῦλε πανένδοξε· ὅθεν δίδου μοι, σὺ χάριν οὐρανόθεν, κατάλληλον, ὅπως σου, ᾄσω ἐφύμνιον.

Νεόφωτος πέφηνας, τῇ Ἐκκλησίᾳ ἀοίδιμε, ἀστὴρ αὐγαζόμενος, Ἡλίου τοῦ νοητοῦ, τοῦ Θεοῦ ἡμῶν, Χριστοῦ φωτοφανείαις, ψυχῶν τῶν τιμώντων σε, φωτίζων ὄμματα.

Μαρτύρων ἀθλοῦντα σε, δῆμος θεώμενος ἔχαιρε, καὶ Ἄγγελοι ἔπλεκον στέφανον ἄφθαρτον, καὶ ἀμάραντον, ἐκ τῶν τοῦ Παραδείσου, ἀνθέων, καλλίνικον σὲ περιμένοντες.

Θεοτοκίον.

Νυστάζοντα Δέσποινα, τὸν λογισμόν μου διέγειρον, τῇ μέθῃ βαρύνοντα, ἁμαρτιῶν μου Σεμνή, καὶ ὁδήγησον εἰς τρίβον μετανοίας, ὁ Νυμφίος ὅπως ἄν, εὕρῃ με νήφοντα.

Ὠδὴ Γ'. Τοὺς σοὺς ὑμνολόγους.

Οὐδ' ὅλως ἐκλόνισαν τὴν φρένα, ὦ Παῦλε, συνάρσει τοῦ Χριστοῦ, τὰ τῶν ἐχθρῶν προσκρούσματα, σφοδρῶς σοι προσρηγνύμενα, ἀλλὰ γενναίως εἴσδυσας εἰς τὸ μαρτύριον ἔνδοξε.

Νεότης ἐῤῥέτω ἀνεβόας, καὶ πλούτη, καὶ δόξαι, καὶ τιμαὶ τὰ παρ' ὑμῖν, ὦ ἄπιστοι, καὶ σὺν αὐτοῖς ἀπόλλοισθε, ἐμοὶ Χριστὸς ὁ Κύριος, δέδωκε δῶρα αἰώνια.

Ἀνέτειλεν ἄρτι ἀνθηφόρον, τὸ ἔαρ, κομπάζει τε ἡ γῆ, τερπνοῖς βρίθουσα ἄνθεσι, καὶ τοῦ Χριστοῦ ἥδεται, στεφανουμένη ἄθλοις σου, ἡ Ἐκκλησία πανένδοξε.

Θεοτοκίον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

Ἰδοὺ ὁ χειμὼν τῆς ἁμαρτίας, ταράττει με, Δέσποινα Ἁγνή, καὶ κλυδωνίζει, σπεῦσον οὖν, καὶ πρὸς τὸ ὄντως ἔαρ με, τῆς εὐσπλαγχνίας τάχιστα, τῆς τοῦ Υἱοῦ σου μετάγαγε.

Κάθισμα, Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Τὰ στίφη τῶν πιστῶν, εὐλαβῶς ἀθροισθέντα, τὸν νέον ἀθλητὴν, Παῦλον τὸν θεοφόρον, ἀξίως ὑμνήσωμεν, εὐσεβείας τὸν πρόμαχον, ἀδαμάντινον, καὶ ἀσεβῶν καθαιρέτην, τὸν κηρύξαντα Θεὸν τοῦ σύμπαντος κόσμου, Χριστὸν τὸν Θεάνθρωπον.

Ὠδὴ Δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Θάμβος Παῦλε τοῖς ἐξ Ἄγαρ, ἀσεβέσιν ἐνέβαλες, τοῖς πιστοῖς δὲ θάῤῥος, διὰ μαρτυρίου πανόλβιε, αὐτομολήσας γενναίως εἰς τὸν θάνατον, ὑπὲρ πίστεως τῆς εἰς Χριστὸν τὸν Θεάνθρωπον.

Πληθὺν ἄνομον ἀπίστων κατὰ σοῦ ἐκβαχεύσασαν, ὡς λυσσώδεις κύνες, σὲ καταθωπεῦσαι, οὐκ ἔπτηξας, ἀλλ' ἐτροπώσω τῷ σθένει τῶν ῥημάτων σου, λογισάμενος, τὴν τούτων πλάνην ἀθύρματα.

Ἠλλοιώθη σου οὐδ' ὅλως, παρεστῶτος πρὸ βήματος, ἡγεμόνος Παῦλε, τοῦ φαιδροῦ προσώπου ἡ πρόσοψις· ἀλλὰ σημαίνων νοός σου τὸ ἀτάραχον, δικαζόμενος διὰ Χριστὸν ἔστης ἄσμενος.

Θεοτοκίον.

Καθαρώτατον Παρθένε, καὶ πανάσπιλον σκήνωμα ἐν ᾧ ξενοτρόπως, ὁ τῶν πάντων Ἄναξ κατέλυσεν, ἁμαρτιῶν γεγονότα με κατάλυμα, τοῦ ἐλέους Σοῦ σπεῦσον τοῖς ῥείθροις ἀπόπλυνον.

Ὠδὴ Ε'. Ἐξέστη τὰ σύμπαντα.

Τὸν σπόρον ἐνέκρυπτες μυχοῖς τῆς διανοίας σου, τὸν τῆς

www.tezaurliturgic.ro

εὐσεβείας τῆς εὐκάρπου, ἀρούρας δίκην, κἂν ἀσεβείας χείμων, ἐδόνεισεν ὅθεν εὐθαλῶς, θάλψας στάχυν εὔκαιρον ἐξανῆκες πολύχουντε.

Ηδωρεῶν ἐνυπόσχεσις, καὶ τῶν δεινῶν ἡ ἀπείλησις, οὐχ ἠμαυρωσέ σου λαμπηδόνα, τὴν τοῦ γενναίου θείου φρονήματος, ἀλλ' ἔστιλψε μᾶλλον, εἰς τὴν πίστιν τοῦ Χριστοῦ, μάκαρ, ὥσπερ ἄργυρος ἐν βασάνῳ τριβόμενος.

Τὸ ὄμμα ἀνέτεινας, Παῦλε εἰς τὰ οὐράνια, τὸ τῆς σῆς ψυχῆς, ὅτε ἑώρας, τὴν τοῦ δημίου ὀξεῖαν μάχαιραν, ᾧ καὶ ἀπετμήθης εὐθαρσῶς, καὶ ἄφθαρτα καὶ αἰώνια στέφανα.

Θεοτοκίον.

Οἱ χείμαῤῥοι Δέσποινα, οἱ τῶν παθῶν κατέβησαν, τῆς σαρκὸς καὶ νῦν ὑπεραρθῆναι, τῆς κεφαλῆς μου ἐγγὺς ἐγένοντο, ὥστε κατακλῦσαι με ἁγνή, οἰκτειρόν με δέομαι, καὶ αὐτοὺς ἀποξήρανον.

Ὠδὴ ς'. Τὴν θείαν ταύτην.

Ὡραῖα ὄντως καὶ πάμφωτος, πανήγυρις ἀνέτειλε σήμερον, τοῦ νεομάρτυρος, πιστοὶ ἐνθέως σκιρτήσωμεν, τὸν στεφοδότην τούτου Χριστὸν δοξάζοντες.

Νυμφῶνος ἄξιον ἔνδυμα, τοῦ οὐρανίου Παῦλε ἐξήφανας στεῤῥοῖς ἀγῶσι σου· δι' ὃ εἰσῆλθες γηθόμενος εἰς τὴν χαρὰν Κυρίου εὐφρανθησόμενος.

Εὐφραίνει Παῦλε τοῖς κάλλεσι, πολεύων Παραδείσου καὶ ἄνθεσι, τούτου στεφόμενος, ὧν καὶ ἡμᾶς καταξίωσον, τοὺς ὑμνητὰς σῶν ἄθλων τῇ μεσιτείᾳ σου.

Λαμπάδα πάγχρυσον ἔγνωμεν, τὸ πῦρ σε δεξαμένην θεότητος, ἀφλέκτως Πάναγνε, καὶ τοὺς ἐν σκότει φωτίσασα, τῆς ἁμαρτίας, ὅθεν τιμῶμεν Σε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ
ΒΙΒΛΙΟΘΗΚΗ

www.tezaurliturgic.ro

Κοντάκιον, Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὤφθης Παῦλε ἔγερσις τοῖς ἀσθενέσι, καὶ πυρσὸς φαιδρότατος τοῖς εὐσεβέσι ἀθλητά· διὸ γηθόμενοι σήμερον, τὴν ἐκτομήν σου σεπτῶς γεραίρομεν.

Ὁ Οἶκος.

Δεῦτε ὁ δῆμος τῶν εὐσεβῶν, εὐφημίαις ὑμνήσωμεν τὸν κλεινὸν Ὁσιομάρτυρα Παῦλον· κατὰ Πέτρον γὰρ τοῦ πτώματος ἐξεγερθεὶς, καὶ ὃν ἐξώμωσε Δεσπότην, τοῦτον φαιδρᾷ τῇ φωνῇ ἐνώπιον ἀσεβῶν ὡμολόγησε τέλειον Θεὸν, καὶ τέλειον ἄνθρωπον· καὶ τὸν δράκοντα τροπωσάμενος, τὴν τούτου πλάνην γενναίως ἐξεφαύλισεν· ὅθεν ἀποτμηθεὶς, δαίμονας κατήσχυνε· καὶ τοὺς πιστοὺς ἐνισχύσας, ἐφαίδρυνε, καὶ σώζει ἅπαντας ἐκ κινδύνων. Διὸ τὴν σεπτὴν αὐτοῦ ἐκτομὴν χαρμοσύνως γεραίρομεν.

Τῷ αὐτῷ μηνὶ Μαΐῳ κβ'. Τοῦ Ἁγίου ἐνδόξου Ὁσιομάρτυρος Παύλου τοῦ Νέου· τοῦ ἐν Τριπόλει (τῆς Πελοποννήσου) μαρτυρήσαντος.

Στίχ. Ἐχθροὺς βεβήλους τροπώσας Χριστομάρτυς,
Μετέστης γῆθεν, πρὸς οὐράνιον δόμον.
Δευτέρᾳ καὶ εἰκοστῇ Παῦλον φάσγανον ἔτλη.

Ταῖς τοῦ Ὁσιομάρτυρος Παύλου πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἐλέησον, καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Δροσιζόμενοι οἱ παῖδες ποτὲ ἔψαλλον, ἐν τῇ καμίνῳ φαιδρῶς, σὺ δὲ τὴν κάραν τμηθεὶς, βραβεῖα αἰώνια, Παῦλε, ἀπείληφας, καὶ συγχαίρεις νῦν, ταῖς νοεραῖς δυνάμεσι, καὶ χορείαις τῶν μαρτύρων.

Φῶς κατηύγασε τερπνὸν ἡμῖν ἡ μνήμη σου, ἡ πανσεβάσμιος, Σὺ γὰρ ἀπίστων ὀφρὺν, γενναίως κατέβαλες,

ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

καὶ ἀνεκήρυξας, τὸν Ἰησοῦν θεάνθρωπον, καὶ Σωτῆρα τῶν ἁπάντων.

Ἔαρ ἔδειξε φωτοφανές, ἡ μνήμη σου, Παῦλε ἀοίδιμε, μαρτύρων ἡ καλλονή, ὡς ῥόδον ἡδύπνοον πιστοὺς μυρίζουσα, θαυματόβρυτος, πηγή τε καὶ ἀκένωτος, θησαυρὸς θείων χαρίτων. Θεοτοκίον.

Ἀειπάρθενε, ἐν σκότει με βαδίζοντα, ἁμαρτιῶν καὶ παθῶν, περιπλανώμενον νῦν, ἡ τέξασα ἥλιον τὸν παμφαέστατον, τὸν Θεὸν ἡμῶν, δᾳδούχησον καὶ δεῖξόν μοι, τὴν ὁδὸν τῆς μετανοίας.

Ὠδὴ ή. Παῖδας εὐαγεῖς.

Ῥέοντα καὶ ἄστατα ὁ Παῦλος, ὁ νέος, καταλιμπάνων δι' ἀθλήσεως, Σῶτερ ὑμνολόγει Σε, καὶ ἐδοξολόγει Σε· τῇ μνήμῃ δὲ αὐτοῦ, ψάλλειν Σοι πάντας ἐκίνησε· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὥρα ἡ τοῦ ἔαρος ἐπέστη, λειμῶνα τοῦ κατοικοῦντος τὸν οὐράνιον, Παύλου τοῦ τρισμάκαρος, ἡ μνήμη νῦν συμπάρεστι, τὴν Ἐκκλησίαν ἅπασαν Χριστοῦ φαιδρύνουσα, κροτήσωμεν φιλέορτοι πάντες, ᾄσματα Κυρίῳ, τιμῶντι τοὺς Ἁγίους.

Ῥεῖθρον ζωηρὸν καὶ νεκταρῶδες, ἡ μνήμη σου καταβλύζει ἡμῖν ἅπασι, καὶ κρουνοὺς ἰάσεων, Παῦλε παναοίδιμε, τοῖς ἀσθενέσι δίδωσι, καὶ πεπτωκόσι δεινῶς, διὸ πάτερ, κᾀμὲ τὸν πεσόντα, ἴασαι ὡς εὔσπλαγχνος, τῶν μαρτύρων τὸ καύχημα. Θεοτοκίον.

Ὄρος ἀλατόμητον, ὦ Κόρη, ἐξ οὗ ὁ νοητὸς λίθος τέτμηται, δίσκος ὁ δεξάμενος δικαιοσύνης ἥλιον, νεφέλη

ὑετόῤῥυτος ἡ καταρδεύσασα, τὴν βρότειον κατάξηρον φύσιν, τάξον τοῦ Υἱοῦ Σου, ἐν δεξιῷ χορῷ με.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἔλεος ἐμοί, πεσόντι τρισόλβιε, Παῦλε κατάπεμψον, ἀμετρήτως πταίσαντι, ἀβύσσῳ πάντως· ὡς παριστάμενος, Τριάδι, ὡς γηθοσύνως πανηγυρίζω σου, ἐν τῇ μνήμῃ, καὶ χαρμοσυνώτατα προσφωνήσω τὰ σὰ κατορθώματα.

Ὅλον ἐν κακοῖς, ἐμὲ ἐπικείμενον ἄνωθεν ἔπιδε, Παῦλε ὁσιώτατε, χεῖρα μοι ὄρεξον ἀναστάσεως, καὶ εὐσπλαγχνίας ῥίψον με Χριστοῦ τοῖς ῥεύμασι, καὶ νυμφῶνος ἄξιον ἀπέργασαι, οὐρανίου, εὐχαῖς εὐπροσδέκτοις σου.

Νίκην κατ' ἐχθροῦ, ἀγγέλων συνόμιλε, τοῦ πολεμοῦντος ἡμῖν, δώρησαι, καὶ τῶν παθῶν τῶν ψυχοφθόρων, καὶ τῶν κινδύνων με, ἐξάρπασον προσοίσαντα Σοὶ τὸ ἐγκώμιον, τὸ βραχὺ μὲν τοῦτο, ἀλλὰ πρόθυμον, καὶ θερμοῦ τοῦ πρὸς Σὲ πόθου ἔμπλεον.

Θεοτοκίον.

Αἶνον προσφυῆ, τοῖς σοῖς προτερήμασι, πῶς τις προσάξειε; νοῦν γὰρ ὑπὲρ ἅπαντα, ἐκτελεσθέντα, καὶ ὑπερκόσμιον, πῶς βρότειον ἐγκώμιον ἐμπεριλήψετε; ἀλλ' ἀνάσχου τούτου, καὶ Υἱῷ Σου γάρ, φίλον ὅτι ἐστὶ κατὰ δύναμιν.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ. Γυναῖκες ἀκουτίσθητε.

Τὸν νέον καὶ πανένδοξον, Παῦλον ὁσιομάρτυρα, Πελοποννήσου τὸ κλέος, τὸν ἐπ' ἐσχάτοις τοῖς χρόνοις, γενναίως ἐναθλήσαντα, καὶ πίστιν τὴν ἀμώμητον, στεῤῥῶς ὁμολογήσαντα, ὕμνοις τιμήσωμεν πάντες, ὡς τοῦ Δεσπότου ὁπλίτην.

Καὶ τῆς Ἑορτῆς.

www.tezaurliturgic.ro


ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ, ψάλλομεν τὸ, Πᾶσα πνοή, καὶ ἱστῶμεν στιχηρὰ προσόμοια δ'. Ἦχος ά.
Τῶν οὐρανίων ταγμάτων.

Πελοποννήσου οἱ παῖδες, δεῦτε συνδράμετε, καὶ τὴν τιμίαν μνήμην, εὐφημήσατε πάντες, τοῦ νέου ἀθλοφόρου, τοῦ τὸν Χριστὸν ἐν σταδίῳ κηρύξαντος, καὶ ἀπελέγξαντος πλάνην ὀθωμανῶν, βδελυράν τε καὶ παμβέβηλον.

Τῶν ἀοράτων τὰ κάλλη περιϊπτάμενος, τῶν ἐφετῶν τὸ ἄκρον, κατοπτεύεις, ὦ Παῦλε, τὴν τρίφωτον Τριάδα, ἧς ταῖς αὐγαῖς, καταυγαζόμενος ἔνδοξε, ὑπὲρ ἡμῶν μὴ ἐλλείπῃς ἐκδυσωπῶν, λυτρωθῆναι πάσης θλίψεως.

Τῆς ψευδολόγου θρησκείας τὴν μιαρότητα, πανσόφως ἐννοήσας, τῷ Χριστῷ ἐκολλήθης, δι' ὃν, καὶ κεφαλῆς σου ὑπενεγκὼν τὴν τομὴν, Παῦλε ἔνδοξε, διπλοῖς στεφάνοις ἐστέφθης παρὰ Θεοῦ, καὶ θαυμάτων ἐπιδείξεσιν.

Ἡμῖν ἐξ ὕψους τὴν χάριν, Παῦλε τὴν ἔνθεον, κατάπεμψον ὑμνοῦσι, Σοῦ τὴν μνήμην, καὶ νίκην, κατὰ τῶν ἀοράτων καὶ ὁρατῶν, πολεμίων, καὶ φύλαττε, τῆς σῆς πατρίδος τὴν πίστιν, ταῖς πρὸς Χριστὸν, εὐπροσδέκτοις σου δεήσεσι.

Δόξα, ἦχος δ'.

Δεῦτε, ὦ φιλέορτοι, ᾀσματικαῖς εὐφημίαις, τὸν ὑπὲρ Χριστοῦ τυθέντα, φαιδρῶς αἰνέσωμεν. Σήμερον γὰρ ἔαρ νοητὸν ἐπέφανεν ἡμῖν, πηγάζον ἄνθη τὰ λογικὰ, ἡ πανένδοξος μνήμη Παύλου τοῦ νέου Ὁσιομάρτυρος· οὗτινος τὴν ἐκτομὴν ἑορτάζοντες, κομιζόμεθα ἰαμάτων πηγάς. Μεθ' ὧν καὶ νῦν αὐτὸν ἱκετεύσωμεν, τοῦ πρεσβεύειν ἀπαύστως τῷ Σωτῆρι Χριστῷ, πταισμάτων τὴν λύσιν δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν, τῆς Ἑορτῆς, ἢ Θεοτοκίον.

www.tezaurliturgic.ro

Δοξολογία Μεγάλη, καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν, τὰ Τυπικά· καὶ ἐκ τοῦ Κανόνος τὴν τρίτην καὶ ἕκτην τῶν ᾠδῶν. Ἀπόστολον, καὶ Εὐαγγέλιον, Μαρτυρικόν. Κοινωνικὸν, Ἀγαλλιᾶσθε Μάρτυρες ἐν Κυρίῳ.

—∞oOo∞—

## ΜΕΓΑΛΥΝΑΡΙΑ.

Ἄνθος εὐωδέστατον καὶ τερπνὸν, ἐν Πελοποννήσῳ ἀνεβλάστησε θαυμαστῶς, Παῦλος ὁ γενναῖος, νικήσας τοὺς ἐξ Ἄγαρ, καὶ τὸν Χριστὸν κηρύξας διὰ ἀθλήσεως.

Τέρπου ὁ νεώτατος ἀθλητὴς, ἐν χρόνοις ὑστέροις τὸν πολέμιον καθελών· Χαίροις τερπνὸν ῥόδον, ὀδμαῖς Σου μυριπνόοις, ἡμᾶς εὐωδιάζον τοὺς εὐφημοῦντας Σε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurultipografic.ro

# ΜΑΡΤΥΡΙΟΝ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ

## ΠΑΥΛΟΥ ΤΟΥ ΝΕΟΥ,

Τοῦ ἐν Τριπόλει (τῆς Πελοποννήσου) λαμπροφανῶς ἀθλήσαντος, ἐν ἔτει Σωτηρίῳ 1818. Μαΐου 22.

—ο—

### ΠΡΟΟΙΜΙΟΝ.

Εὐλόγησον Πάτερ.

Ἀγαλλιάσθω ὁ Οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι εὐφροσύνην ῥανάτωσαν, ἡ δὲ γῆ σὺν τοῖς ἀνθρώποις κροτήτω τὰ νικητήρια. Ἄγγελοι, καὶ ἄνθρωποι οἱ ἐν τῷ κόσμῳ, καὶ οἱ ἐν τοῖς ἐρήμοις, πανηγυριζέτωσαν. Φαιδρυνέσθω τὰ τῆς Ἐκκλησίας πρόσωπα, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ ὁ Κύριος· σήμερον λαμπρῶς ἐβεβαιώθη τὸ ῥηθὲν ἀπὸ τὰ πανάγια χείλη τοῦ Θεανθρώπου Σωτῆρος ἡμῶν Χριστοῦ, ὅτι αἱ τοῦ ᾅδου πύλαι, ἤτοι ἡ τοῦ Διαβόλου δύναμις, δὲν θέλει δυνηθῆ ποτὲ νὰ ἀνδρισθῇ καὶ νὰ γένῃ ἐπικρατεστέρα, τῆς τῶν οὐρανῶν Βασιλείας· εἰδὲ καὶ πρὸς καιρὸν φανῇ νικῶσα, ἀλλὰ πρὸς μεγαλητέραν αὐτῆς ἧτταν καὶ καταισχύνην, γενήσεται ἡ φαινομένη αὐτῆς νίκη. Ἰδοὺ γὰρ, εἰ καὶ ἠπάτησε τὸν σήμερον παρ' ἡμῶν εὐφημούμενον Ὁσιομάρτυρα Παῦλον, καὶ ἠγαλλιάσατο χαρὰν μεγάλην διὰ τὴν κατ' αὐτοῦ νίκην, ἀλλὰ μετὰ μικρὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

'θ' αὐτὸ ὑπόθεσιν, ἀλλὰ ἀπατηθεὶς, τοῦ ἔγραψε παρευθὺς τὸν φετφᾶν· ὁ δὲ Μάρτυς λαβὼν αὐτὸν ὑπῆγεν εἰς τὸν Κριτὴν, τετάρτη πρωΐ· πρὸς τὸν ὁποῖον παῤῥουσιασθεὶς, ἔδειξεν αὐτὸν ὁ Κριτὴς ἀφοῦ ἀνέγνωσεν αὐτὸν, τοῦ εἶπε· ποῖος εἶναι ὁ ταβατζής σου; ὁ Μάρτυς ἀπεκρίθη· ἐσὺ εἶσαι ὁ ταβατζής μου. Ἐγὼ ἐπλανήθην ἀπὸ ἀνηλικίαν, καὶ ἀγνωσίαν μου, καὶ ἔλαβον τὴν βδελυράν σας θρησκείαν, νομίζων ὅτι εἶναι μάλαμα, δηλαδὴ ἀληθής· καὶ τώρα ἐπειδὴ ἐγνώρισα αὐτὴν, ὅτι εἶναι χάλκωμα, δηλαδὴ ψευδὴς καὶ ματαία, ζητῶ τὴν ὀρθόδοξον πίστιν μου, ἡ ὁποία εἶναι μάλαμα ἄδολον καὶ καθαρόν. Χριστιανὸς ἐγεννήθην, καὶ Χριστιανὸς μέλλω νὰ ἀποθάνω. Ταῦτα λέγοντος τοῦ Μάρτυρος, εἷς ὑπηρέτης τοῦ Κριτοῦ ἐῤῥάπισεν αὐτὸν ἐπὶ τοῦ στόματος μὲ πολλὰς ὕβρεις· ὁ ὁποῖος, ὢ τοῦ θαύματος! ἐδαιμονίσθη. Ἐκβαλόντες δὲ τὸν Μάρτυρα ἐκεῖθεν, ἀσκεπῆ καὶ ἀνυπόδητον, τὸν ὑπῆγαν καὶ τὸν ἐπαῤῥησίασαν εἰς τὸν Κεγχαγιάμπεην, ἐκεῖ δὲ ἐξετασθεὶς, ὡμολόγησε τὸν Ἰησοῦν Χριστὸν Θεὸν ἀληθινὸν Τρισυπόστατόν τε ποιητὴν καὶ κριτὴν τοῦ παντὸς καὶ ἀπελέγξας ὅτι ὁ παρ' αὐτῶν δοξαζόμενος Μωάμεθ ἦτον ἄνθρωπος λαοπλάνος, ἀντίχριστος, καὶ ψευδοπροφήτης· ἐκβαλόντες δὲ τὸν Μάρτυρα καὶ ἀπ' ἐκεῖ, τὸν ἐπαῤῥησίασαν εἰς τὸν ἡγεμόνα, ὀνομαζόμενον Σεῒτ Ἀλῆ-Πασᾶν· ἔνθα γεγονωτέρᾳ φωνῇ κἀκεῖ ὁμολογήσας τὴν ἀλήθειαν τῆς ὀρθοδόξου ἡμῶν πίστεως· τὴν δὲ τῶν Ὀθομανῶν θρησκείαν ὡς ψευδῆ ἀποδείξας, κατεκλείσθη εἰς τὴν φυλακήν· ὢ τῆς γενναίας ὁμολογίας Σου ἔνδοξε ἀθλητὰ τοῦ Χριστοῦ Παῦλε! Ὁ Μάρτυς λοιπὸν ἀφοῦ ἐκλείσθη εἰς τὴν φυλακὴν, ἔμεινεν ἐν αὐτῇ τρεῖς ὥρας· ὅπου προεῖπε καὶ εἰς ἕνα χωρικὸν συνδεσμώτην, τὴν ταχεῖαν ἐλευθερίαν του· ὅστις μετὰ μικρὸν ἐλυτρώθη, κατὰ πρόῤῥησιν τοῦ Ἁγίου. Ὁ δὲ Ἡγεμὼν ἐσυμβουλεύετο ὁμοῦ μὲ τοὺς νομικοὺς, καὶ μεγιστᾶνας αὐτοῦ, περὶ τοῦ μάρτυρος· ἔπειτα, βλέπων τὸ ἀμετάθετον τῆς γνώμης αὐτοῦ, ἐπρόσταξε νὰ ἀποκεφαλισθῇ· οἱ δὲ στρατιῶται τοῦ Ἡγεμόνος ἐξέβαλον τὸν Μάρτυρα ἀπὸ τὴν φυλακὴν, καὶ ἀφοῦ ἔφερον αὐτὸν εἰς τὸν διωρισθέντα τόπον, ἀπέκοψαν τὴν τιμίαν καὶ ἱερὰν αὐτοῦ κεφαλήν· ἐν ἔτει σωτηρίῳ, 1818· τῇ 22. τοῦ Μαΐου ἡμέρα τετάρτη,

www.tezaurliturgic.ro


περὶ ὥραν ἕκτην· παρακινηθέντες δὲ ἀπὸ φθόνον καὶ κακίαν, ἔῤῥιψαν τὸ τίμιον σῶμα αὐτοῦ εἰς κοπρώδη τόπον· ὢ τῆς ἀπιστίας αὐτῶν! ἔμεινε δὲ ἐκεῖ μερικὰς ἡμέρας, χωρὶς νὰ ἐξογκωθῇ, οὔτε νὰ πάθῃ καμμίαν ἀλλοίωσιν, καθὼς φυσικῶς ἀκολουθεῖ εἰς τὰ σώματα· ἐφύλαττε γὰρ αὐτὸ ἡ χάρις τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος, ἡ δι' αὐτοῦ τερατουργήσασα. Ὕστερον δὲ ἀπὸ ὀλίγας ἡμέρας, μερικοὶ φιλομάρτυρες χριστιανοὶ, ὑπῆγαν διὰ νυκτὸς, καὶ ἔκλεψαν αὐτὸ τὸ Ἱερὸν καὶ μαρτυρικὸν σῶμα, ἐκ τοῦ κοπρῶνος· καὶ ἀφοῦ ἐπεριποιήθησαν αὐτὸ μὲ τὴν πρέπουσαν εὐλάβειαν, ἐνταφίασαν αὐτὸ εἰς ἓν ὀσπήτιον διὰ τὸν φόβον, πλησίον τοῦ Ναοῦ τῶν Παμμεγίστων Ταξιαρχῶν, τοῦ ἐν τῇ Πόλει. Ἤθλησεν λοιπὸν οὗτος ὁ ὁσιομάρτυς, κατὰ τὸ εἰκοστὸν ὄγδοον ἔτος τῆς ἡλικίας του, καὶ ἦτον μέτριος κατὰ τὸ μέγεθος τοῦ σώματος. Ἐγένετο δὲ καὶ ἡ ἀνακομιδὴ τοῦ τιμίου Λειψάνου αὐτοῦ ὅπερ διεμοιράσθη τοῖς Εὐσεβέσι χάριν εὐλαβείας, πολλὴν ἐκπέμπον εὐωδίαν, καὶ παρέχον θεραπείας τοῖς μετὰ πίστεως αὐτὸν προσκαλουμένοις.

## ΕΠΙΛΟΓΟΣ

Αὐτὸ εἶναι, ὦ ἀγαπητοί μου ἀδελφοὶ, τὸ μαρτύριον τοῦ ἁγίου ἐνδόξου ὁσιομάρτυρος Παύλου τοῦ Νέου· αὐτὸς ὁ γενναίως ἀγωνισθεὶς, κατετρόπωσε τὸν ἀνθρωποκτόνον, τὸν πρὶν πτερνίσαντα αὐτόν· καὶ κατήσχυνε τοὺς ὀθωμανοὺς ὡς ἀπίστους, ἀποδείξας τὴν θρησκείαν αὐτῶν ψευδῆ καὶ ματαίαν· καὶ ἐστερέωσεν ἐν τῇ πίστει τοὺς ὀρθοδόξους χριστιανοὺς μὲ τὴν γενναίαν ἄθλησίν του· ἀπετμήθη τὴν κεφαλὴν, καὶ στεφανηφόρος εἰς οὐρανοὺς ἀναδραμὼν, ἀγάλλεται αἰωνίως εἰς τὸν παράδεισον. Αὐτὸν ἂς μιμηθῶμεν καὶ ἡμεῖς τὸν γενναῖον ἀθλητὴν, ὁ ὁποῖος ἀθλήσας καλῶς, ἐστεφανώθη ἀπὸ τὸν Δεσπότην Ἰησοῦν Χριστὸν, μὲ δύω ἀφθάρτους στεφάνους, τῆς ἀσκήσεως, λέγω καὶ τῆς ἀθλήσεως· ἂς ἀνδρισθῶμεν κατὰ τῶν ἀλόγων παθῶν, καὶ κατὰ τοῦ μισοκάλου δαίμονος, διὰ νὰ ἐλεήσῃ καὶ ἡμᾶς

www.tezaurliturgic.ro

φιλάνθρωπος καὶ γλυκύτατος Ἰησοῦς Χριστός· ἡ γὰρ πάλη ἡμῶν, οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τοὺς κοσμοκράτορας δαίμονας, κατὰ τὸν μέγαν Ἀπόστολον· ἂς μετανοήσωμεν ἐξ ὅλης καρδίας, καὶ ἂς ἐξιλεώσωμεν τὸν Θεάνθρωπον Ἰησοῦν Χριστὸν, μὲ θερμὰ δάκρυα, ζῶντες βίον σεμνὸν, καὶ εὐαγγελικόν· ἂς νηστεύωμεν νηστείαν καθαρὰν, καὶ εὐάρεστον τῷ Θεῷ· διότι ἡ νηστεία εἶναι πρώτη ἐντολὴ τοῦ Ιησοῦ Χριστοῦ, καὶ βασιλὶς τῶν ἀρετῶν, καὶ χαλινογωγία ἀλόγων παθῶν. Καὶ καθὼς νηστεύωμεν σωματικῶς ἂς νηστεύσωμεν καὶ πνευματικῶς, καὶ ὄχι φαρισαϊκῶς, σκυθρωπάζοντες τὰ πρόσωπα· διότι νηστεία ἐστὶν, ἡ ἀποχὴ τῶν βρωμάτων, καὶ ἡ τῶν κακῶν ἀλλοτρίωσις. Οὐαὶ ὑμῖν κοιλιόδουλοι, οἱ θεοποιοῦντες τὴν γαστέρα, οἱ καταλύοντες τὰς τετράδας καὶ παρασκευάς! ἐθρέψατε τὰς σάρκας ὑμῶν, ὡς ἐν ἡμέρᾳ σφαγῆς· φοβερὸν τό ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. Ἂς ἀγαπῶμεν τὸν πλησίον μας ὡς ἑαυτούς· διότι καθὼς λέγει ὁ Ευαγγελιστὴς Ἰωάννης, πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστί· καὶ πάλιν ὁ αὐτὸς λέγει· ὁ Θεὸς ἀγάπη ἐστὶ, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ· καὶ, ὅπου εἰσὶ, δύω ἢ τρεῖς, συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. (Ματθ. Κεφ. 18.) Ἂς μισήσωμεν τὰς κλεψίας καὶ ἀδικίας· ὁ γὰρ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. Καὶ κατὰ τὸν μέγαν Ἀπόστολον· « Ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. » Ἂς ἀφήσωμεν τὴν κατάκρισιν, διὰ νὰ μὴ καταδικασθῶμεν εἰς τὴν αἰώνιον κόλασιν. « Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε· καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. (Ματθ. Κεφ. 7.) Ἡμεῖς βλέπομεν τὸ κάρφος, τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ ἡμῶν, καὶ τὴν δοκὸν τὴν ἐν τῷ ὀφθαλμῷ ἡμῶν οὐ κατανοοῦμεν· οὐαὶ ἡμῖν! Καὶ ὁ μέγας Ἀπόστολος λέγει· « Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; » Ἐν ᾧ κρίνεις τὸν ἕτερον, σαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων. Ἂς ἀποῤῥίψωμεν τὰ ἔργα τοῦ σκότους, δηλαδὴ ἂς μισήσωμεν κάθε ἁμαρτίαν· « ὁ γὰρ περιπατῶν ἐν τῇ σκοτείᾳ, οὐκ οἶδε ποῦ ὑπάγει· ἂς ἐνδυθῶμεν τὰ ὅπλα τοῦ φωτὸς, δηλαδὴ ἂς ἐργαζώμεθα ἀρετὰς, καὶ ἂς

www.tezaurliturgic.ro

πολιτευθῶμεν ἐν καινότητι ζωῆς, διὰ νὰ ἀξιωθῶμεν νὰ ἀπολαύσωμεν τὰ ἀνεκλάλητα ἀγαθὰ τῆς ἐπουρανίου Βασιλείας. Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, καὶ τοῦ Ὁσιομάρτυρος Παύλου τοῦ Νέου· καὶ πάντων τῶν Ἁγίων. Ἀμήν.

# ΤΕΛΟΣ.

Καὶ τῷ Τρισυποστάτῳ Θεῷ καὶ Σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΜΗΝ.

Χρηστῶν ἁπάντων, Χριστὸς ἀρχὴ καὶ τέλος,
Θεοῦ μὲν δῶρον, Χριστοφόρου δὲ πόνος.

www.tezaurulliturgic.ro



**ΕΥΡΙΣΚΕΤΑΙ,**

Παρὰ τῷ Τυπογραφείῳ τῆς Ἀρκαδίας

(Τιμᾶται λεπ. 75.)